# Selected Greek Exercises

From Machen's *New Testament Greek for Beginners*

Reformatted by Nate, Josh, and Beni Wilson

Chapters 13-22

# LESSON XIII: Future Active and Middle

1. ἄξει ὁ κύριος τοὺς μαθητὰς αὐτοῦ εἰς τὴν βασιλείαν.

3. λήμψεσθε τὰ πλοῖα ἐκ τῆς θαλάσσης.

5. ἕξουσιν οἱ πονηροὶ οὐδὲ χαρὰν οὐδὲ εἰρήνην.

7. ἁμαρτωλοί ἐστέ, γενήσεσθε δὲ μαθηταὶ τοῦ κυρίου.

9. προσεύξῃ τῷ θεῷ σου καὶ δοξάσεις αὐτόν.

11. ταῦτα γνώσομαι οὐδὲ ἐγώ.

13. ἐκεῖνα λήμψονται οἱ ἀπόστολοι, ταῦτα δὲ καὶ οἱ ἀδελφοί.

15. ὁ προφήτης αὐτὸς γράψει ταῦτα ἐν ταῖς γραφαῖς.

17. ἀπελεύσῃ καὶ σὺ εἰς τὰς ὁδοὺς τῶν

πονηρῶν καὶ διδάξεις οὕτως τοὺς ἀνθρώπους.

19. ἐλεύσεται καὶ αὕτη πρὸς αὐτόν, καὶ αὐτὸς διδάξει αὐτήν.

**LESSON XIV: First Aorist Active Middle Ind.**

1. ἀπέλυσεν ὁ κύριος τὸν δοῦλον αὐτοῦ, ὁ δὲ δοῦλος

οὐκ ἀπέλυσε τὸν ἄλλον.

3. ἐπιστεύσαμεν εἰς τὸν κύριον καὶ σώσει ἡμᾶς.

5. ὑπέστρεψας πρὸς τὸν

κύριον καὶ ἐδέξατό σε εἰς τὴν ἐκκλησίαν αὐτοῦ.

7. ἐπεστρέψατε πρὸς τὸν κύριον καὶ ἐθεράπευσεν ὑμᾶς.

9. *ἡτοίμασα ὑμῖν τόπον ἐν τῷ οὐρανῷ.*

11. *ἀνέβλεψαν οἱ τυφλοί.*

13. *πονηροὶ ἦσαν αὐτοί, πονηροὺς δὲ ἔπεμψαν εἰς τὴν ἐκκλησίαν.*

15. *τότε ἠκούσαμεν ταύτας τὰς ἐντολάς,*

*ἄλλας δὲ ἀκούσομεν ἐν τῇ ἐκκλησίᾳ.*

17. *ἤκουσαν αὐτοῦ καὶ ἐθαύμασαν.*

19. *οὐδὲ ἠκούσαμεν τὸν κύριον οὐδὲ ἐπιστεύσαμεν εἰς αὐτόν.*

LESSON XV: 2nd Aorist Active & Middle

1. καὶ εἴδομεν τὸν κύριον καὶ ἠκούσαμεν τοὺς λόγους αὐτοῦ.

3. ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐγένοντο μαθηταὶ τοῦ κυρίου.

5. προσέφερον αὐτῷ τοὺς τυφλούς.

7. τὰ μὲν δαιμόνια ἐξεβάλετε, τὰ δὲ τέκνα ἐθεραπεύσατε.

9. οὐκ ἐκήρυξας τὸ εὐαγγέλιον ἐν τῇ ἐκκλησίᾳ,

οὐδὲ γὰρ ἐγένου μαθητής.

11. ἐπιστεύσαμεν εἰς τὸν κύριον, οἱ γὰρ μαθηταὶ ἤγαγον ἡμᾶς πρὸς αὐτόν.

13. *τότε μὲν εἰσήλθετε εἰς τὴν ἐκκλησίαν. ἐν ἐκείνῃ δὲ*

*τῇ ἡμέρᾳ εἰσελεύσεσθε εἰς τὸν οὐρανόν.*

15. *ὁ μὲν κύριος ἐξῆλθε τότε ἐκ τοῦ κόσμου,*

*οἱ δὲ μαθηταὶ αὐτοῦ ἔτι μένουσιν ἐν αὐτῷ.*

17. *τότε μὲν παρελάβετε τὴν ἐπαγγελίαν παρὰ τοῦ κυρίου,*

*νῦν δὲ καὶ κηρύσσετε αὐτὴν ἐν τῷ κόσμῳ.*

19. *συνήγαγεν ἡμᾶς αὐτὸς εἰς τὴν ἐκκλησίαν αὐτοῦ.*

# LESSON XVI: Aorist & Future Passive

1. ἐπιστεύσαμεν εἰς τὸν κύριον καὶ ἐγνώσθημεν ὑπ' αὐτοῦ.

3. ἐδιδάξατε τὰ τέκνα, ἐδιδάχθητε δὲ καὶ αὐτοὶ ὑπὸ τοῦ κυρίου.

5. ἐγερθήσονται οἱ νεκροὶ τῷ λόγῳ τοῦ κυρίου.

7. ἐξεβλήθη τὰ δαιμόνια· ὁ γὰρ κύριος ἐξέβαλεν αὐτά.

9. εἰσῆλθες εἰς τὴν ἐκκλησίαν καὶ ἐβαπτίσθης.

11. οἱ ἁμαρτωλοὶ ἐσώθησαν (continued on next page)

11b. ἐν ἐκείνῃ τῇ ὥρᾳ καὶ ἐγενήθησαν μαθηταὶ τοῦ κυρίου.

13. ἐδοξάσθη ὁ θεὸς ὑπὸ τοῦ υἱοῦ, ἐδόξασε δὲ αὐτόν.

15. ἑτοιμασθήσεται ἡμῖν τόπος ἐν οὐρανῷ κατὰ
τὴν ἐπαγγελίαν τοῦ κυρίου.

17. εἶδον οὗτοι τὸ πρόσωπον τοῦ κυρίου καὶ ἤκουσαν
τῆς φωνῆς αὐτοῦ.

19. πρῶτός εἰμι τῶν ἁμαρτωλῶν, ἐσώθην δὲ καὶ ἐγώ.

## LESSON XVII: The Third Declension

1. ἐλπίδα οὐκ ἔχουσιν οὐδὲ τὸ πνεῦμα τὸ ἅγιον.

3. ταῦτά ἐστιν τὰ ῥήματα τοῦ ἁγίου πνεύματος.

5. τῷ λόγῳ τοῦ κυρίου ἔσωσεν ἡμᾶς ὁ θεός.

7. ταῦτα εἶπον ἐκεῖνοι τοῖς ἄρχουσιν τούτου τοῦ αἰῶνος.

9. οὐκέτι κατὰ σάρκα γινώσκομεν τὸν κύριον.

11. τὸ μὲν γράμμα ἀποκτείνει, (continued on next page)

ἐν τῷ δὲ πνεύματι ἔχετε ζωήν.

13. ἐδίδαξαν οἱ μαθηταὶ καὶ τοὺς

ἄρχοντας καὶ τοὺς δούλους.

15. μετὰ τῶν ἀρχόντων ἤμην ἐν ἐκείνῳ τῷ οἴκῳ.

17. ταῦτά ἐστιν ῥήματα ἐλπίδος καὶ ζωῆς.

19. ταῦτα τὰ ῥήματα ἐκηρύχθη ἐν ἐκείνῃ τῇ νυκτὶ

τοῖς δούλοις τοῦ ἄρχοντος.

**LESSON XVIII: Present Participles.**

1. διωκόμενοι ὑπὸ τοῦ ἄρχοντος προσευχόμεθα τῷ θεῷ.

3. ταῦτα λέγομεν τοῖς πορευομένοις εἰς τὸν οἶκον

περὶ τοῦ ἐγείροντος τοὺς νεκρούς.

5. αἱ ἐκκλησίαι αἱ διωκόμεναι ὑπὸ τῶν ἀρχόντων

πιστεύουσιν εἰς τὸν κύριον.

7. γινώσκει ὁ θεὸς τὰ γραφόμενα ἐν τῷ βιβλίῳ τῆς ζωῆς.

9. εἴδομεν τοὺς λαμβάνοντας τὰ δῶρα ἀπὸ τῶν τέκνων.

11. ἅγιοί εἰσιν οἱ πιστεύοντες εἰς τὸν κύριον

καὶ σωζόμενοι ὑπ' αὐτοῦ.

13. ἦσαν ἐν τῷ οἴκῳ τῷ λυομένῳ ὑπὸ τοῦ ἄρχοντος.

15. αὕτη ἐστὶν ἡ ἐκκλησία ἡ πιστεύουσα εἰς τὸν κύριον.

17. ἐκηρύχθη ὑπ' αὐτῶν τὸ εὐαγγέλιον τὸ σῶζον

τοὺς ἁμαρτωλούς.

19. ἦλθον πρὸς αὐτὸν βαπτίζοντα τοὺς μαθητάς.

## LESSON XIX Aorist Participles Active and Middle

1. λαβόντες ταῦτα παρὰ τῶν πιστευόντων εἰς τὸν

κύριον ἐξήλθομεν εἰς τὴν ἔρημον.

3. εἴδομεν αὐτοὺς καὶ μένοντας ἐν τῷ οἴκῳ

καὶ ἐξελθόντας ἐξ αὐτοῦ.

5. ταῦτα εἴπομεν περὶ τοῦ σώσαντος ἡμᾶς.

7. προσενεγκόντες τῷ κυρίῳ τὸν διωκόμενον ὑπὸ τοῦ

ἄρχοντος τοῦ πονηροῦ ἀπήλθετε εἰς ἄλλον τόπον.

9. ἐπίστευσας εἰς αὐτὸν εἰπόντα ταῦτα.

11. ὁ μὴ ἰδὼν τὸν κύριον οὐκ ἐπίστευσεν εἰς αὐτόν.

13. ἀκούσαντες τὰ λεγόμενα ὑπὸ τοῦ κυρίου ἐπίστευσαν εἰς αὐτόν.

15. τὰ τέκνα τὰ λαβόντα ταῦτα ἀπὸ τῶν ἀκουσάντων

τοῦ κυρίου εἶδον αὐτὸν ἔτι ὄντα ἐν τῷ οἴκῳ.

17. οἱ ἄγγελοι οἱ πεσόντες ἐκ τοῦ οὐρανοῦ πονηροὶ ἦσαν.

19. ταῦτα ἀπεκρίθη τοῖς προσενεγκοῦσιν αὐτῷ τὰ τέκνα.

**LESSON XX Aorist Passive Participle /Genitive Absolute**

1. πορευθέντος τοῦ ἄρχοντος πρὸς τὸν κύριον οἱ δοῦλοι

εἶπον ταῦτα τοῖς μαθηταῖς.

3. πιστευσάντων ὑμῶν εἰς τὸν

κύριον εὐθὺς ἐπίστευσε καὶ ὁ ἄρχων.

5. ἐκβληθέντος αὐτοῦ ἐκ τῆς συναγωγῆς συνήχθησαν οἱ ἄρχοντες.

7. εἰπόντος ταῦτα τοῦ πνεύματος τοῦ ἁγίου οἱ μαθηταὶ

ἐκήρυξαν τὸν λόγον τοῦ θεοῦ.

9. *ἐλθόντος τούτου εἰς τὴν οἰκίαν αὐτοῦ εὐθέως εἴπομεν*

*τοῖς ἄλλοις τὰ ῥήματα τὰ παραλημφθέντα ἀπὸ τοῦ κυρίου.*

11. *ἀναλημφθέντος αὐτοῦ εἰς οὐρανὸν εἰσῆλθον*

*οἱ μαθηταὶ εἰς τὴν οἰκίαν αὐτῶν*

13. *αὗταί εἰσιν αἱ διωχθεῖσαι καὶ ἔτι διωκόμεναι*

*ὑπὸ τῶν ἀρχόντων.*

15. *τῶν στρατιωτῶν διωξάντων ἡμᾶς εἰς τὴν οἰκίαν*

*ἐδέξαντο ἡμᾶς οἱ ὄντες ἐκεῖ.*

17. *εἰσερχομένῳ σοι εἰς τὴν οἰκίαν προσῆλθον*

*οἱ ἄρχοντες, εἰσελθόντα*[1] *δὲ ἐξέβαλον.*

19. *πορευομένου μὲν τοῦ κυρίου μετὰ τῶν μαθητῶν αὐτοῦ*

*ἔλεγον οἱ ἀπόστολοι ταῦτα, ἐλθόντος δὲ εἰς τὴν οἰκίαν ἐκεῖνα.*

**LESSON XXI The Subjunctive Mood.**

1. ἐὰν εὐαγγελισώμεθα ὑμᾶς, λήμψεσθε σωτηρίαν καὶ ἐλπίδα.

3. ἐὰν μὴ ἴδῃ οὗτος τὸν κύριον, οὐ πιστεύσει εἰς αὐτόν.

5. εὐηγγελισάμην αὐτοὺς ἵνα σωθῶσιν καὶ ἔχωσιν ζωήν.

7. μακάριοί εἰσιν οἱ ὄχλοι, ἐὰν ἀκούσωσιν τὰ ῥήματά μου.

9. ἐκηρύξαμεν τούτῳ τῷ λαῷ τὰ ῥήματα τῆς ζωῆς,

ἵνα δέξωνται τὴν ἀλήθειαν καὶ σωθῶσιν.

11. ταῦτα εἰπόντων αὐτῶν ἐν τῷ ἱερῷ οἱ ἀκούσαντες ἐδέξαντο

τὰ λεγόμενα, ἵνα κηρύξωσιν αὐτὰ καὶ τοῖς λοιποῖς.

13. ἐλεύσομαι πρὸς τὸν σώσαντά με, ἵνα μὴ λύω τὰς ἐντολὰς

αὐτοῦ μηδὲ πορεύωμαι ἐν ταῖς ὁδοῖς τοῦ θανάτου.

15. εἰ εἴδετε ταῦτα ἐν ταῖς ἡμέραις ταῖς κακαῖς,

ὄψεσθε τὰ αὐτὰ καὶ νῦν καὶ εἰς τὸν αἰῶνα.

17. ὁ λύων τὰς ἐντολὰς τοῦ θεοῦ οὐκ ἔχει ἐλπίδα,

ἐὰν μὴ ἐπιστρέψῃ πρὸς τὸν κύριον.

19. συνελθόντες εἰς τὴν οἰκίαν δεξώμεθα τὴν μαρτυρίαν

τοῦ εὐαγγελισαμένου ἡμᾶς.

**LESSON XXII The Present and Aorist Infinitives / The Articular Infinitive. Indirect Discourse**

1. οὐκ ἔξεστίν σοι ἔχειν αὐτήν.

2. κελεύσας δὲ τοὺς ὄχλους ἀπολυθῆναι ἐξῆλθεν εἰς τὴν ἔρημον.

4. ἤρξατο δὲ ὁ Ἰησοῦς λέγειν τοῖς Ἰουδαίοις ὅτι δεῖ αὐτὸν ἀπελθεῖν.

6. εἰ θέλει μετ᾽ ἐμοῦ ἐλθεῖν, δεῖ αὐτὸν ἀποθανεῖν.

8. ἐν δὲ τῷ λέγειν με τοῦτο ἔπεσε τὸ πνεῦμα τὸ ἅγιον ἐπ᾽ αὐτούς.

11. διὰ δὲ τὸ εἶναι αὐτὸν ἐκεῖ συνῆλθον οἱ Ἰουδαῖοι.

13. ἀπέθανεν ὑπὲρ αὐτῶν ὁ Ἰησοῦς εἰς τὸ σωθῆναι αὐτούς.

15. εἶπεν ὁ τυφλὸς ὅτι βλέπει τοὺς ἀνθρώπους.

17. ταῦτα ἔλεγεν ὁ ἀπόστολος ἔτι ὢν ἐν σαρκί, εἰς τὸ πιστεῦσαι

εἰς τὸν Ἰησοῦν τοὺς ἀκούοντας.

19. σωθέντες ὑπὸ τοῦ Ἰησοῦ ὀφείλομεν καὶ πάσχειν διὰ τὸ ὄνομα αὐτοῦ.